ὁμοφώνῳ γνώμῃ καὶ βουλῇ τοῦ τε ἐνδοξοτάτου ἄρχοντος μεγάλου λογοθέτου τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κυρίου κυρίου Ἀλεξάνδρου Μάνου, καὶ τοῦ πανευγενεστάτου ἄρχοντος μεγάλου σπαθάρη, περιφανοῦς ἐπιτρόπου τῆς μεγάλης δραγουμανίας, κυρίου κυρίου Ἰωάννου Ῥωσσάτου, καὶ πάσης τῆς πανεκλάμπρου καὶ πανευγενοῦς χορείας τῶν προὐχόντων τοῦ γένους ἡμῶν, μετὰ παντὸς τοῦ εὐαγοῦς κλήρου, τῶν τε τιμιωτάτων ἐπιτρόπων τοῦ κοινοῦ, καὶ τῶν προκριτωτέρων ἀφ' ἑκάστου τῶν εὐλογημένων ρουφετίων τῆς βασιλευούσης τῆσδε τῶν πόλεων, καὶ τὴν τοῦ παναγίου Πνεύματος ἐπικαλεσάμενοι χάριν τε καὶ βοήθειαν ὅπως φωτίσῃ ἡμᾶς ἐν συναινέσει τῶν ὧν μέλλομεν ποιῆσαι κανονικῶν ψήφων, ἐκλέξασθαι καὶ εὑρεῖν ἀξιόλογον ἄνδρα καὶ πρόσφορον καὶ προστάτην ἁρμόδιον, ὅστις ἐπὶ τὴν πρωτιστεύουσαν ταύτην ἀποστολικὴν καὶ οἰκουμενικὴν προβιβασθεὶς καθέδραν καὶ τὴν κοινὴν ἀναλαβὼν πηδαλιουχίαν σπουδήν τε καὶ ἐπιμέλειαν, δυνηθῇ λόγῳ καὶ φρονήσει καὶ ἐμπειρίᾳ καταστορέσαι καὶ κατευνᾶσαι πάντα σάλον καὶ κλύδωνα, καὶ τὴν τοῦ Χριστοῦ ἐκκλησίαν ἀκύμαντον διαφυλάξαι καὶ εἰς εὔδιον λιμένα εἰσαγαγεῖν τὴν ἱερὰν αὐτῆς καὶ παγκόσμιον ὁλκάδα καὶ διασῶσαι κανονικῶς, συνδιασκεψάμενοί τε μετ' ἀκριβείας καὶ ψήφους κανονικὰς προβαλόμενοι, πρῶτον μὲν ἐθέμεθα τὸν πανιερώτατον καὶ θεοπρόβλητον μητροπολίτην ἅγιον Μυτιλήνης συναδελφὸν ἡμῶν ἀγαπητὸν κὺρ Ἱ ε ρ ε μ ί α ν, δεύτερον δὲ τὸν Διονύσιον, καὶ τρίτον τὸν Ἄνθιμον, ὧν καὶ τὰ ὀνόματα κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας εἰς ἔνδειξιν καὶ ἀσφάλειαν.

,αωθ', κατὰ μῆνα μάϊον, ἐπινεμήσεως ιβ'.

† Ὁ Καισαρείας ***Φιλόθεος*** — † ὁ Ἐφέσου ***Διονύσιος*** — † ὁ Ἡρακλείας ***Μελέτιος*** — † ὁ Κυζίκου ***Μακάριος*** — † ὁ Νικομηδείας ***Ἀθανάσιος*** — † ὁ Νικαίας ***Δανιήλ*** — † ὁ Χαλκηδόνος ***Ἱερεμίας*** — † ὁ Δέρκων ***Γρηγόριος*** — † ὁ Θεσσαλονίκης ***Γεράσιμος*** — † ὁ Νεοκαισαρείας ***Μελέτιος*** — † ὁ Ἰκονίου ***Κύριλλος*** — † ὁ Βερροίας ***Χρύσανθος*** — † ὁ Ἀθηνῶν ***Γρηγόριος*** — † ὁ Φιλιππουπόλεως ***Ἰωαννίκιος*** † ὁ Δράμας ***Ἰωσήφ*** — † ὁ Ἀγκύρας ***Ἰωαννίκιος.***

* * *

Παραίτησις Ἱερεμίου Δ' [162]).

Ἐξ ὅτου κατὰ θείαν φιλανθρωπίαν τῇ ἀρχιερατικῇ εὐαγεῖ συνετάγημεν χορείᾳ, ὡς πολυειδοῦς τῆς ἐκκλησιαστικῆς προνοίας καὶ φιλοστοργίας ἐπαπολαύσαντες, οὐ μόνον χάριτας ὅτι πλείστας ἡμεν ὁμολογοῦντες τῇ εὐεργέτιδι ἡμῶν καὶ κοινῇ ταύτῃ τροφῷ, ἀλλὰ καὶ εἰς ἅπαν αὐτῆς νεῦμα, τό γε ἐς δύναμιν ἡμετέραν ἧκον, ἑτοιμότατοί τε καὶ εὐπειθέστατοι προσηνέχθημεν, καὶ τοῦτο χρέος ἡγούμενοι χρεῶν ἁπάντων δικαιότατόν τε καὶ πρώτιστον τοῦ μὲν συντελεστικοὺς ἡμᾶς αὐτοὺς παρέχειν κατὰ τὸ ἐγχωροῦν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι καὶ συναγωνίζεσθαι, ὅσα καὶ τὸ λοιπὸν ἀρχιερατικὸν σύνταγμα εἴτε ἐκ τοῦ σύνεγγυς μετὰ τῶν ἐνδημούντων εἴτε πόρρωθεν μετὰ τῶν ἀποδημούντων οὐ διελείπομεν ὅλως ἐν ὅλῳ τῷ μακρῷ

162) *Κώδ.* Π. Ἀρχ. Θ' 310. — *Ἐκκλ. Ἀλ.* Β' 294.

διαστήματι τῆς ἀρχιερωσύνης ἡμῶν· τοῦ δὲ πατριαρχικοῦ ἀξιώματος οὔτε πόθος ἡμῖν ἐνέστακται πώποτε, οὔτε ἔννοια προσεγένετο εἰδόσι καλῶς ὅσος ὁ τῆς πνευματικῆς ταύτης ἀρχῆς πέφυκεν ὄγκος καὶ οἷον ἡ ἱερὰ αὕτη πηδαλιουχία ἐπιζητεῖ τὸν κυβερνήτην, ἐν τοῖς δε μάλιστα καιροῖς, καθ' οὓς καὶ τὰ τῶν περιστάσεων κύματα χαλεπά τε καὶ ἀλλεπάλληλα, καὶ οἱ πνέοντες ἄνεμοι λάβροι καὶ πρὸς ἀλλήλους ἀντιφιλονεικοῦντες δεινόν· ὅθεν καὶ ἀποξειλιῶντες καὶ τὴν ἐνοῦσαν ἡμῖν ἀσθένειαν ἐπιγινώσκοντες διήγομεν ἐφησυχάζοντες ἐν τῇ ταπεινῇ ἡμῶν παροικίᾳ, τήν τε ψυχικὴν σωτηρίαν τοῦ ἐμπεπιστευμένου ἡμῖν ποιμνίου ἐπισκεπτόμενοι καὶ τοῖς συντρόφοις ἡμῶν ἀσθενήμασι καὶ σωματικοῖς πάθεσι, ὅσα τὸ γῆρας ἐπέβρισε καθ' ἡμῶν, τὴν δυνατὴν θεραπείαν παρέχοντες. Ἀλλ' ἐπειδὴ σύμφωνος ἐκκλησιαστικὴ γνώμη καὶ κοινὴ τοῦ γένους συγκατάθεσις προείλετο ἡμᾶς (κρίμασιν οἷς οἶδε Θεὸς) καὶ προσεκαλέσατο ἐπὶ τὴν πνευματικὴν ταύτην ἀρχήν, φαμὲν δὴ τὸ μέγιστον τῆς πατριαρχείας ἀξίωμα, εἰ καὶ ἄκοντες διὰ τὰς προρρηθείσας προδήλους αἰτίας, ὅμως δ' οὖν ἐνεδώκαμεν καὶ ἀνελάβομεν τοὺς πνευματικοὺς οἴακας τοῦ παγκοίνου τούτου σκάφους, ὃ δὴ τῇ θείᾳ ἐπικουρίᾳ καὶ τῇ τῶν περὶ ἡμᾶς ἱερωτάτων συναδελφῶν προθύμῳ συναντιλήψει ἀβλαβὲς καὶ ἀκίνδυνον ἀπό τε τοῦ ἐπεγειρομένου τῶν καιρικῶν περιστάσεων κλύδωνος καὶ τῆς τῶν ἀνέμων ἀντιπνοίας διεσώσαμεν, τέταρτον ἤδη χρόνον τὸν πλοῦν διανύοντες. Ἐπεὶ δὲ τὰ ἐνσκήψαντα ἡμῶν σωματικὰ πάθη ἐπὶ τὸ χεῖρον χωρεῖ, καὶ κατισχύουσιν ἡμῶν ἐπὶ μέγα, τό τε ὑπερβάλλον τοῦ γήρως τὰ τῶν δυνάμεων ἡμῶν παντάπασι ἐξητόνησε καὶ νοσοκομούμενον ὅλως κατέστημεν σῶμα, ὥστε αἱ ψόαι ἡμῶν ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκὶ ἡμῶν κατὰ τὸν ψαλμογράφον, δέον ᾠήθημεν καὶ ἀναγκαῖον τὴν μὲν πνευματικὴν ταύτην ἀρχὴν εὐχαρίστως ἀποδοῦναι τοῖς ἀφ' ὧν παρελάβομεν, ἑαυτοῖς δὲ τὴν φίλην περιποιήσασθαι ἡσυχίαν. Καὶ δὴ γράφοντες διὰ τοῦ παρόντος ἐπιδηλοῦμεν ὅτι παραιτούμεθα ἀβιάστως καὶ οἰκειοθελῶς, εἰ καὶ μὴ τοῦ βαθμοῦ τῆς ἀρχιερωσύνης, ἀλλά γε τῆς πατριαρχείας αὐτῆς· καὶ πρῶτον μὲν ἐξαιτούμεθα ἐγκάρδιον τὴν συγγνώμην καὶ συγχώρησιν παρὰ πάντων ἡμῶν τῶν περιποθήτων ἡμῖν συναδελφῶν καὶ συλλειτουργῶν, ἐν οἷς ἴσως ποτὲ εἴτε ἐν γνώσει εἴτε ἐν ἀγνοίᾳ, εἴτε κοινῶς, εἴτε μερικῶς ἐφάνημεν παραπικράναντες καὶ λυπήσαντες τινὰ ἐξ αὐτῶν, εἶτα δὲ καὶ ἡμεῖς πᾶσιν αὐτοῖς ἐκ βαθέων καρδίας τὴν ὁμοίαν παρέχομεν συγγνώμην καὶ συγχώρησιν, εἴ τις αὐτῶν πρὸς ἡμᾶς ἀντιστρατευθεὶς ἐφάνη καὶ λυπήσας ἡμᾶς καθ' οἱονδήποτε τρόπον εἴτε ἄκων εἴτε καὶ ἑκών. Ἔργον δ' ἀπὸ τῆς ὥρας ταύτης τῶν ἀγαπητῶν καὶ περιποθήτων ἡμῶν τούτων συναδελφῶν, τῇ χάριτι τοῦ παναγίου καὶ πάσης σοφίας χορηγοῦ καὶ λατρευτοῦ θείου Πνεύματος συνδιασκεψαμένους ἑλέσθαι τὸν ἀξίως τῆς πνευματικῆς ταύτης ἀρχῆς προστησόμενον καὶ εἰς εὔδιον καὶ σωτήριον λιμένα τὸ πάγκοινον τῆς ἐκκλησίας σκάφος ἐνορμησόμενον καὶ προσαγκυρώσοντα, καὶ ἡμᾶς δὲ αὐτοὺς τῆς ἐκκλησιαστικῆς μὴ συναπαξιώσοντα προμηθείας. Γένοιτο, γένοιτο.

,αωιγ' μαρτίου δ'.

† Ὁ πρώην Κωνσταντινουπόλεως Ἱερεμίας βεβαιοῖ.

78) ΚΥΡΙΛΛΟΣ ΣΤ΄

Παραιτηθέντος Ἱερεμίου Δ΄ ἐκλήθη αὐθημερὸν ***(4 Μαρτίου 1813)*** ἐπὶ τοὺς οἴακας τοῦ θρόνου ὁ μ/της Ἀδριανουπόλεως ***Κύριλλος***, ὅστις κατόπιν «συνεχῶν καὶ ἐπανειλημμένων παμψηφεὶ προσκλήσεων» ἐνδοὺς εἰς τὴν φωνὴν τῆς ἐκκλησίας ἐξελέγη ἐπισήμως διὰ κανονικῶν ψήφων πατριάρχης ΚΠόλεως κατ' ***Ἀπρίλιον*** ἰ. ἔ. ἐνθρονισθεὶς πιθανῶς τῇ 5 ἰδ. μηνός. Ἡ πατριαρχεία αὐτοῦ διήρκεσε μέχρι ***13 Δ/βρίου 1818***, ὅτε «ἀπηλάθη τοῦ θρόνου ἐκπεσὼν ὑψηλῷ βασιλικῷ προσκυνητῷ ἐγγράφῳ κελεύσματι... διαλαμβάνοντι τὰς αἰτίας τῆς ἐξώσεως». Αὐθημερὸν ἐπέδωκεν ἔγγραφον παραίτησιν «ὡς ἀπηυδηκὼς καὶ νοσηρῶς πως διατεθειμένος ἔκ τε τῶν πολλῶν μόχθων καὶ ἄλλων δυσχερειῶν», μεταβὰς δὲ εἰς Ἀδριανούπολιν, γενέτειραν αὐτοῦ, ἐφησύχαζεν ἐκεῖ. Φαίνεται δὲ ὅτι ἡ πόλις αὕτη ὡρίσθη αὐτῷ τόπος ἐξορίας. Τῇ 18 Ἀπριλίου 1821, ἡμέρᾳ δευτέρᾳ, ὑπέστη τὸν γνωστὸν οἰκτρὸν θάνατον ἐν τῷ ἐκεῖ μητροπολιτικῷ μεγάρῳ, τὰ δὲ ὀστᾶ αὐτοῦ μετενεχθέντα μετὰ δεκαετίαν εἰς Ἀδριανούπολιν ἐκ τοῦ χωρίου Κούλελι-Βουργάζ, ἔνθα εἶχε ταφῇ τὸ σκῆνος, ἐτέθησαν ἐν λάρνακι ἐντὸς τοῦ μητροπολιτικοῦ ναοῦ [163]).

***

Ὑπόμνημα ἐκλογῆς Κυρίλλου ΣΤ΄ τοῦ ἀπὸ Ἀδριανουπόλεως [164]).

Καὶ φυτὸν ἀεὶ ῥίζης πέφυκε χρῆζον . . . μηδὲν ἡμᾶς πάσχειν κακόν. Τοῦ γοῦν ἁγιωτάτου τούτου πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου τῆς Κωνσταντι-

---

163) — ὅρα σημ. 153. — *Κούμα*, ΙΒ΄ 512 ἑξ. — ***Θρακικά***, παράρτημα Γ΄ τόμου. Ἀθῆναι. 1931. σ. 111 ἑξ. 243 ἑξ. — ***Φ. Βαφείδου*** ἐκκλ. ἱστ. Γ΄ β΄ 16. 222. — ***Σ. Βουτυρᾶ*** Λεξικὸν ἱστ. καὶ γεωγρ. ΚΠολις. 1881. τόμ. Γ΄ 883.

— Πρὸς τούτοις ὅρα καί: *Μαθᾶ* 276.—Βυζ. Β΄ 545.—***Γεδεὼν*** 683.—***τοῦ αὐτοῦ*** ***καν. διατ.*** Β΄ 145. 149. — ***Δελτίον*** ἱστ. καὶ ἐθν. ἑταιρ. κλπ. Δ΄ 269. — ***Ἑλληνικὰ*** περιοδ. ἐν Ἀθήναις Γ΄ σ. 60. — Vailhé 1313. 1435. — ***Ἐκκλ. Ἀλ.*** ΙΣΤ΄ 366. ΙΘ΄ 200. 523. Μ΄ (1920) σ. 195. 213. — Ἡ ἱ. μονὴ Εἰκοσιφοινίσσης ὑπὸ ***Α. Δ. Μ.*** ΚΠολις. 1896. σ. 34. 45. 51. — ***Κ. Παπαρρηγ.*** ἱστ. τοῦ ἑλλ. ἔθν. ἔκδ. δ΄ τόμ. Ε΄ σ. 759. — Ἐκκλ. ἱστ. ***Διομ. Κυριακοῦ*** Γ΄ 51. 98. — ***Εὐγενίου ἱερέως*** ἡ Ζωοδόχος Πηγή. Ἀθῆναι. 1886 σ. 292. 294. 303. — Langlois le Mont Athos σ. 46. 53. — ***Α. Κεραμέως*** ἱερ. βιβλ. Γ΄ 184. Δ΄ 287. — ***Δελικάνη*** Β΄ 235. 237. 515. 516. 607. 699. Γ΄ 506. 516. 715 ἑξ.—***Κ. Σαθα*** Νεοελλ. φιλολογία. Ἀθῆναι 1868. σ. 678. — ***Θρακικὰ*** τόμ. Α΄ (1928) σ. 247. 304. 493. τομ. Β΄ (1929) σ. 83. ***παράρτημα*** Γ΄ τόμ. σ. 27 ἑξ. 65. 194. 230.— ***Πανδώρα*** τόμ. ΙΔ΄ (1863) σ. 202.— A. Didot notes d'un voyage au Levant σ. 40. — ***Λόγιος Ἑρμῆς*** Βιέννη 1815. — ***Η. Ταντολίδου*** βίος Στεφ. Καραθεοδωρῆ σ. 31 ἑξ. — ***Σ. Μαυρογένους*** βίος Κ. Καραθεοδωρῆ. Παρίσιοι. 1885 σ. 5. — ***Μ. Ε. Ἐγκ.*** ΙΕ΄ 487.—***Ὀρθοδ.*** Γ΄ 32.—***Θεολογία*** Δ΄ 182.

164) ***Κώδ.*** Π. Ἀρχ. Θ΄ 311. — Τὸ προοίμιον τοῦ «ὑπομνήματος» εἶνε τὸ αὐτὸ πρὸς τὸ τοῦ Ἀρχ/κοῦ Γράμματος ἐπὶ τῆς γ΄ ἐπανόδου ***Γρηγορίου Ε΄*** (ὅρα σημ. 153).

νουπόλεως ἀναγκαίως ἐπιζητοῦντος ἤδη τὸν οἰκεῖον προστάτην, ἅτε τοῦ ἐν αὐτῷ προκαθημένου κυρίου Ἱ ε ρ ε μ ί ο υ ἐκστάντος ἀπ' αὐτοῦ δι' ἐνυπογράφου καὶ ἐσσφραγισμένου τῆς οἰκειοθελοῦς αὐτοῦ παραιτήσεως γράμματος, ὃ δὴ κατεστρωμένον ἀντικρὺ φαίνεται, καὶ τὰς αἰτίας δεικνῦον, καὶ δὴ καὶ ἀδείας συμφώνου τοῖς ἐπικεχορηγημένοις ἡμῖν προνομίοις δοθείσης παρὰ τῆς κραταιοτάτης βασιλείας (ἧς τὸ κλέος ἀπρόσμαχον καὶ εἰς αἰῶνας θριαμβεῦον) ἐπὶ τῷ γενέσθαι τὴν τοῦ διαδόχου ἐκλογὴν ἀξιοπρεπῆ καὶ κατάλληλον πρὸς περίθαλψιν τῶν ὑποτελῶν ὁμογενῶν καὶ εὐαρέσκειαν τῷ βασιλείῳ κράτει, ἡμεῖς ἡ ἐνδημοῦσα ἐν τῇ κλεινῇ ταύτῃ τῶν πόλεων ἱερὰ ἐν Χῷ τῶν ἀρχιερέων ὁμήγυρις, κοινῇ γνώμῃ καὶ ὁμοφώνῳ συναινέσει τοῦ τε ἐνδοξοτάτου μεγάλου διερμηνευτοῦ τῆς κραταιᾶς βασιλείας κυρίου κυρίου Ἰακώβου Ἀργυροπούλου, τοῦ πανευγενεστάτου ἄρχοντος μεγάλου λογοθέτου τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κυρίου κυρίου Ἀλεξάνδρου Μάνου, τῆς πανεκλάμπρου καὶ πανευγενοῦς χορείας τοῦ τε εὐαγοῦς κλήρου, τῶν τιμιωτάτων ἐπιτρόπων τοῦ κοινοῦ καὶ τῶν ἀφ' ἑκάστου τῶν εὐλογημένων ρουφετίων προκριτωτέρων, συνελθόντες ἐν τῷ πανσέπτῳ πατριαρχικῷ ναῷ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου κτὶ τῇ ἐπικλήσει τῆς χάριτος τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ Πνεύματος συνδιασκεψάμενοι περὶ εὑρέσεως ἀξίου καὶ καταλλήλου, ὅστις περὶ τὴν πρωτιστεύουσαν ταύτην ἀποστολικὴν καὶ οἰκουμενικὴν προβιβασθεὶς καθέδραν καὶ τὴν κοινὴν ἀναλαβὼν πηδαλιουχίαν, δυνηθῇ λόγῳ καὶ φρονήσει καὶ ἐμπειρίᾳ καταστορέσαι πάντα σάλον καὶ κλύδωνα καὶ τὴν ἱερὰν ὁλκάδα τὴν δεινῶς χειμαζομένην καὶ συχνοῖς ὅσοις κατακλυζομένην τοῖς κύμασι διασῶσαι καὶ εἰς εὐδίους λιμένας εἰσαγαγεῖν, ἅπαντες ὁμοθυμαδὸν ἑνὶ φρονήματι καὶ μιᾷ καρδίᾳ ἐξελεξάμεθα τὸν πανιερώτατον, ἐλλογιμώτατον καὶ θεοπρόβλητον μητροπολίτην Ἀδριανουπόλεως ὑπέρτιμον καὶ ἔξαρχον παντὸς Αἱμιμόντου, ἐν Χῷ περιπόθητον καὶ περισπούδαστον ἡμῶν συναδελφὸν κύριον κύριον Κ ύ ρ ι λ λ ο ν, ὡς τῶν λοιπῶν ἁπάντων προέχοντα καὶ πολλῷ τῷ μέτρῳ ὑπερτεροῦντα, συνέσει τε καὶ φρονήσει κεκοσμημένον, λόγῳ τε, παιδείᾳ καὶ μαθήσει ἀπηρτισμένον, ἐκ νεαρᾶς ἡλικίας ἐν τοῖς κόλποις τῆς κοινῆς ἡμῶν μητρὸς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας ἐντεθραμμένον, τήν τε σύστασιν αὐτῆς διακαῶς ποθοῦντα, καὶ λόγῳ καὶ ἔργῳ ὠφελήσαντα ὅση δύναμις καὶ κοσμήσαντα τὴν ἐκκλησίαν καὶ τὴν ἱερὰν τῶν ἀρχιερέων ὁμήγυριν, καὶ μόνον ἱκανὸν ἐν τοῖς παροῦσι καιροῖς, καθ' οὓς ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων κατάστασις, ὡς οἰκία καταπεσοῦσα διόλου καὶ μονονουχὶ ἐρημωθεῖσα τὴν ἐκ νέου ἀνέγερσιν ἐπιζητεῖ, καὶ δὴ κατὰ τὴν ἱερὰν ἐκκλησιαστικὴν διατύπωσιν τῶν κανονικῶν ψήφων τελεσθεισῶν α^{ον} μὲν ἐθέμεθα τὴν αὐτοῦ θεοπρόβλητον πανιερότητα, β^{ον} δὲ τὸν Γρηγόριον καὶ γ^{ον} τὸν Ἀθανάσιον, ὧν καὶ τὰ ὀνόματα κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωιγ', κατὰ μῆνα Ἀπρίλιον, ἐπινεμήσεως α'.

† Ὁ Ἡρακλείας ***Μελέτιος*** — † ὁ Κυζίκου ***Κωνστάντιος*** ἔχων καὶ τὴν γνώμην τοῦ πανιερ. συναδελφοῦ ἁγίου Καισαρείας κυρίου ***Φιλοθέου*** — † ὁ Νικομηδείας ***Ἀθανάσιος***† — † ὁ Χαλκηδόνος ***Γεράσιμος*** — † ὁ Δέρκων ***Γρηγόριος*** —

† ὁ Νεοκαισαρείας ***Μελέτιος*** — † ὁ Φιλαδελφείας ***Δωρόθεος*** — † ὁ Βιδύνης ***Διονύσιος*** — † ὁ Γάνου καὶ Χώρας ***Γεράσιμος*** — † ὁ Σωζουπόλεως ***Παΐσιος*** — † ὁ Ἀγαθουπόλεως ***Διονύσιος*** — † ὁ Πόσνας ***Καλλίνικος***.

***

Παραίτησις Κυρίλλου ΣΤ' 165).

Ἡ σκοπιμωτάτη πρόθεσις, ἣν παρὰ πάντα τὸν βίον ἡμῶν ἐνεστησάμεθα ἐκ πρώτης ἡμῖν, ὃ λέγεται, τοῦ ζῆν γραμμῆς τοιάδε τις ἦν, μὴ πρὸς ἴδιον τέλος ἢ σκοπὸν ἐφορῶσι, τῷ κοινῷ μόνον δουλεύειν καὶ εὐάρεστα καὶ κεχαρισμένα τῷ φιλτάτῳ ἡμῶν γένει ἀεὶ ἐργάζεσθαι· καὶ τοιαύτας εὐδοκίμους καὶ εὐαρέστους ἐκδουλεύσεις, παρ' οἷς ἐτύχομεν ὑπηρετοῦντες σεβασμίοις γέρουσιν, ἔχομεν πλείστας ὅσας ὑποδεικνῦναι ἐπὶ μακροῖς ἔτεσι, περίπου τὰ εἴκοσι καὶ τέσσαρα ὑπ' ὄψεσι καὶ μαρτυρίαις παρατεινομέναις πολλῶν, καθ' ἃ οὔτε φίλαρχοί τινες ἢ φιλόπλουτοι ὤφθημεν ἢ ἐσπουδαρχήσαμεν, καθὼς οἱ πολλοὶ ἐκβιαζόμενοι τὴν ἐκκλησίαν εἰς τὸ ἐπιλαβέσθαι ἐπαρχίας τινός, ἀλλ' ἀφοσιοῦντες τὸ πᾶν εἰς τὴν ἄνω πρόνοιαν ἐμένομεν ἐνεξεταζόμενοι εἰς διαφόρους ἐκκλησιαστικοὺς βαθμούς, καὶ τὸ ἐφ' ἡμῖν τὰ δυνατὰ εὐδοκίμως καθυπουργοῦντες ἕως οὗ κοινῇ ψήφῳ ἐκκλησιαστικῇ ἀποκατέστημεν εἰς τὴν τοῦ Ἰκονίου κυριαρχικὴν ἐπιστασίαν, ὅπου καὶ εἰς ἑπταετίαν πλείστους διηθληκότες μόχθους ἠγωνίσθημεν κατὰ χρέος, ἅμα μὲν εὐγνωμονοῦντες τῇ εὐεργέτιδι ἡμῶν ἐκκλησίᾳ, ἅμα δὲ καὶ κατ' εὐαρέστησιν κοινὴν διεξάγοντες τὸν ἐκεῖ εὐσεβόφρονα λαόν, ὡς ἄχρι τοῦδε παρὰ πάντων μυρίοις εὐχαρίστοις στόμασι διαρρήδην ἀνακηρύττεται· μεθ' ὃ τῆς πατρίδος ἡμῶν Ἀδριανουπόλεως ἀρχιερατικῆς ἀμοιρούσης προστασίας, πανδήμῳ ψήφῳ τοῦ λαοῦ καὶ συναινέσει τῆς ἐκκλησίας καὶ τῶν προὐχόντων τοῦ γένους δι' ὑψηλοῦ θεσπίσματος ἀνάρπαστοι γεγονότες ἐκεῖθεν, μετετέθημεν εἰς τὴν πνευματικὴν ἐκείνης διοίκησιν· εἶτα μετὰ διετὲς διάστημα, τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου προκατόχου ἡμῶν κυρίου Ἱερεμίου ἐπ' εὐλόγοις παραιτησαμένου λόγοις, καὶ διὰ τὸ μακρὸν αὐτοῦ καὶ λιπαρὸν γῆρας μὴ ἐξικανοῦντος εἰς ὄχλον πραγμάτων τοσούτων ἐχόντων συνέχειαν καὶ σφοδρὰν χαλεπότητα, ἅπαν τὸ γένος ἀπέβλεψεν εἰς ἡμᾶς μετακαλεσάμενον διὰ συνεχῶν καὶ ἐπανειλημμένων παμψηφεὶ προσκλήσεων, δι' ὃ καὶ παρέσχομεν ἑαυτοὺς πειθηνίους κατὰ τὴν ἀνέκαθεν ἡμῶν πρόθεσιν εἰς τὴν ὁμόψηφον τοῦ γένους φωνήν, ἐπειλημμένοι ἀνακτορικῇ ἐπινεύσει τῶν οἰάκων τῆς τηλικαύτης ἀρχῆς, ἣν καὶ εἰς ἑξαετίαν περίπου ὅσον ἔνεστι φιλοτίμως διεξαγαγόντες ἠγωνίσθημεν, μηδένα τῶν ἀγαπητῶν ἀδελφῶν βλάψαντες ἢ ἀδικήσαντες ἢ γοῦν ἐκ προθέσεως λυπήσαντες, ἀλλ' ἐν πολλοῖς δυσχερέσι τοῦ κοινοῦ τὰ δυνατὰ συμπραξάμενοι, καί πως ὠφελήσαντες οὐ μικρόν· ἤδη ἄλλως δόξαν τῇ ὑπερτάτῃ βουλῇ, ὡς ἀπηυδηκότες καὶ ἡμεῖς καὶ νοσηρῶς πως διατεθειμένοι ἔκ τε τῶν πολλῶν μόχθων καὶ ἄλλων δυσχερειῶν, ἑκόντες ὑποχωροῦμεν παραιτούμενοι, ἢ καὶ μὴ τὴν ἀρχιερωσύνην ἡμῶν, ἀλλά γε τὸν πατριαρχικὸν ἀποστολικὸν οἰκουμενικὸν τοῦτον θρόνον· ὡς γὰρ εὔηθες ᾠήθημεν τὴν ἀρχὴν ἀποθέσθαι τὴν πανδήμῳ ψήφῳ προσενεχθεῖσαν ἡμῖν ταύτην ἐπιστασίαν

165) ***Κώδ.*** Π. Ἀρχ. Θ' 396. — ***Ἐκκλ. Ἀλ.*** Β' 315. — **Byz. Zeit** XV. σ. 448.

ὡς ἐπωφελῆ δῆθεν καὶ ἀναγκαίαν, οὕτω προπετὲς κρίνομεν καὶ σφαλερὸν κατέχειν τοῦ λοιποῦ καὶ διώκειν αὐτήν, αἱρούμενοι τὸ ἀπὸ τοῦδε ἀπραγμόνως βιοῦντες ἐπαπολαύειν τῆς ἐφ' ἡσυχίας σχολῆς μᾶλλον ἢ ἐν τηλικούτῳ ἀξιώματι διαρκοῦντες, ὀδύνης ἄρτον ἐσθίειν, καὶ ψυχὴν καὶ σῶμα σινομένους περιφανῶς κατατρύχεσθαι. Εὐχόμεθα οὖν τοῖς ἐν Κυρίῳ ἀγαπητοῖς ἡμῶν ἀδελφοῖς καὶ πᾶσι καὶ πάσαις τοῖς ἐν Χριστῷ περιποθήτοις ἡμῶν τέκνοις εὐζωΐαν διηνεκῆ, ὑγείαν ἀκροτάτην καὶ εἰρηναίαν διαγωγὴν καὶ ἄφεσιν τῶν πεπλημμελημένων εἴ τι καθ' ἡμῶν ἐλάλησαν ἢ μεμελετήκασιν ἀντεξαιτούμενοι καὶ ἡμεῖς τὰ αὐτὰ παρὰ πάντων, εἴ τινα ὤφθημεν ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ μέχρι καὶ λόγου λελυπηκότες τὴν τηλικαύτην κεχειρισμένοι ἀρχήν, καὶ τῇ ἱερᾷ δὲ ἐκλογάδι τῆς ἐκκλησίας εὐχόμεθα ὅπως ἐκ Θεοῦ φωτισθέντες ἕλωσι τὸν ἄξιον προστάτην τοῦ παγκοίνου τουτουῒ σκάφους πρὸς ἀρίστην διεξαγωγὴν τῶν τῆς ἐκκλησίας πραγμάτων, τοῦτο μόνον θερμῶς ποτνιώμενοι μηκέτι τοῦ λοιποῦ Ἀριστείδου μεμνήσασθαι, ὅπερ αὐτὸς οὗτος πάλαι ποτὲ τῷ Ἀθηναίων δήμῳ ἐπιπεφώνηκε. Σώζεσθε, ἀγαπητοὶ ἀδελφοὶ καὶ τέκνα ἐν Χριστῷ περιπόθητα.

,αωιη', δεκεμβρίου ιγ'.

† ***Ὁ πρώην Κωνσταντινουπόλεως Κύριλλος βεβαιοῖ.***

79) ΕΥΓΕΝΙΟΣ Β'

Χηρεύσαντος τοῦ θρόνου ΚΠόλεως τῇ 10 Ἀπριλίου 1821, κατὰ τὰ ἀλλαχοῦ σημειωθέντα, «ἀποκατεστάθη τῇ αὐτῇ ἡμέρᾳ τῆς Λαμπροφόρου Ἀναστάσεως διὰ κοινῆς ἐκλογῆς... ὁ ἀπὸ Πισσιδείας παναγιώτατος κύριος **Εὐγένιος**», ὅστις προσβληθεὶς «ὑπὸ σωματικῆς χρονικῆς ἀσθενείας», κατά τινας ὑπὸ δυσεντερείας, ἀπέθανε τῇ 27 Ἰουλίου 1822 κηδευθεὶς ἐν πομπῇ. Ποῦ ἐτάφη ἄγνωστον 166).

*
* *

Ὑπόμνημα ἐκλογῆς Εὐγενίου Β' τοῦ ἀπὸ Πισιδίας 167).

Καὶ φυτὸν ἀεὶ ῥίζης πέφυκε χρῇζον...... μᾶλλον μηδὲν ἡμᾶς πάσχειν κακόν. Σήμερον γοῦν τῇ ι' τοῦ τρέχοντος μηνὸς διὰ βασιλικοῦ μουμπασήρη τῆς Ὑψηλῆς Πόρτας ὁ πατριαρχεύων κὺρ Γρηγόριος αἴφνης ἀπὸ τῶν πατριαρχείων ἀνάρπαστος γενόμενος, μετεκομίσθη εἰς χωρίον Καδίκιοϊ τῆς ἁγιωτάτης μητροπό-

---

166) ***Κώδ.*** Π. Ἀρχ. ΙΓ' 193. — ***Μ. Γεδεὼν*** πατρ. ἱστορίας μνημεῖα. Ἀθῆναι. 1922 σ. 5. — ***τοῦ αὐτοῦ*** Π. Πίν. σ. 686. — ***Κούμα*** σ. . — ***Βυζαντ.*** Β' 545.— ***Μαθᾶ*** 287. — ***Ι. Φιλήμονος*** δοκίμιον ἱστ. ἑλλ. κλπ. Δ' 448. — Vailhé 1313. 1435. — ***Ἐκκλ. Ἀλ.*** ΙΘ' 256. — ***Φ. Βαφείδου*** ἐκκλ. ἱστ. Γ' β' 16. 222. — ***Ὀρθοδ.*** Γ' 31. — ***Θεολογ,*** Δ' 182. — ***Μ. Ε. Ἐγκ.*** ΙΑ 706.

167) ***Κώδ.*** Π. Ἀρχ. Θ' 434. — ***Ἐκκλ. Ἀλ.*** Μ. (1920) σ. 204. — Τὸ προοίμιον τοῦ «ὑπομνήματος» τὸ αὐτὸ πρὸς τὸ τοῦ «ὑπομνήματος» τῆς ἐκλογῆς Κυρίλλου ΣΤ'·

λεως Χαλκηδόνος, ἀμέσως δὲ συνόδου ὑπερτελεστάτης συγκροτηθείσης πάντων ἡμῶν, συμπαρόντος καὶ τοῦ ἐνδοξοτάτου καὶ περιφανεστάτου μεγάλου διερμηνευτοῦ τῆς κραταιᾶς βασιλείας κυρίου κυρίου Σταυράκη Ἀριστάρχη μετὰ τῶν προκριτωτέρων τῆς πανευγενοῦς χορείας, τοῦ πανευγενεστάτου ἄρχοντος μεγάλου λογοθέτου κυρίου Στεφάνου Μαυρογένους καὶ παντὸς τοῦ εὐαγοῦς κλήρου, ἔτι δὲ καὶ τῶν τιμιωτάτων ἐπιτρόπων τοῦ κοινοῦ καὶ πάντων τῶν ἄλλων τῶν εὐλογημένων ῥουφετίων τοῦ εὐσεβοῦς πληρώματος τῆς βασιλευούσης ταύτης τῶν πόλεων, ἐπ' ἀκροάσει πάντων ἀνεγνώσθη ὑψηλὸν προσκυνητὸν ἔγγραφον περιέχον τὰς αἰτίας τῆς ἐξώσεως τοῦ προρρηθέντος παναγιωτάτου πρώην Κωνσταντινουπόλεως κυρίου Γρηγορίου καὶ ἐπὶ τέλους πρὸς ἡμᾶς προσκυνητὰς ἐπιταγάς· δέον γὰρ τὸν ἀφ' ἡμῶν πατριάρχην προσέχοντα τὸν νοῦν τῇ ὑψηλῇ βουλήσει τῆς κραταιᾶς βασιλείας, ἐπιτελεῖν τά τε ἀναγκαῖα πρὸς περίθαλψιν τοῦ βασιλικοῦ ῥαγιᾶ καὶ τὰ καθήκοντα ἑαυτῷ πρὸς ὑποταγὴν καὶ πιστὴν δούλευσιν, τὸν δὲ μὴ μόνον μηδὲν τούτων ἐπιτελέσαι, ἀλλὰ καὶ ἐπιχειρῆσαι πράξεσί τε καὶ τολμήμασι, δι' ἅπερ ἀποβαλεῖν καὶ τὸ πιστὸν καὶ ἐξωσθῆναι τῆς πατριαρχείας δεβλέτζε, ὅ ἐστι κατὰ τάξιν καὶ ἐξουσίαν τοῦ ὑψηλοῦ δεβλετίου. Ταῦτα μὲν οὖν περιεῖχε τὸ προσκυνητὸν ἔγγραφον περὶ τῆς ἐκείνου παναγιότητος, ἐπὶ τέλους δὲ κατ' ἔλεον βασιλικὸν ἐπέταττε σύμπασιν ἑλέσθαι εἰς πατριάρχην κατὰ τὴν ἐκκλησιαστικὴν τοῦ γένους ἡμῶν τάξιν καὶ συνήθειαν δόκιμον, πιστὸν καὶ ἱκανὸν πρὸς περίθαλψιν τοῦ βασιλικοῦ ῥαγιᾶ, συνετὸν δὲ καὶ ἄξιον ὑπουργῆσαι τὰ ἀρέσκοντα τῇ ὑψηλῇ βουλῇ. Καὶ δὴ σκέψεως γινομένης ἐπὶ πολύ, παρουσιάζοντος καὶ τοῦ ἐνδοξομεγαλοπρεπεστάτου Κεσεδὰρ ἐφένδιμιζ πρὸς εὕρεσιν καὶ ἐκλογὴν ἀξίου καὶ ἁρμοδίου προσώπου, τοῦ ἀξίως διακυβερνήσοντος τὸ πάγκοινον τουτουῒ σκάφος κατὰ τὴν προσκυνητὴν ἐπιταγὴν καὶ κατὰ τοὺς θείους καὶ ἱεροὺς νόμους, μηδεμίαν ἐκκλησιαστικὴν παροικίαν ἐπὶ πολὺ μένειν χηρεύουσαν διακελευομένους, προεκρίθη καὶ προεξελέγη τῶν ἄλλων μιᾷ ψυχῇ καὶ καρδίᾳ, καὶ ἑνὶ φρονήματι πάντων ὁμοῦ τῶν τοῦ γένους μελῶν ὁ πανιερώτατος καὶ θεοπρόβλητος μητροπολίτης Πισιδείας, ὑπέρτιμος καὶ ἔξαρχος Σίδης, Μυρέων καὶ Ἀτταλείας, ἐν Χριστῷ περισπούδαστος καὶ περιπόθητος ἡμῶν συναδελφὸς κύριος κὺρ Εὐγένιος ὡς τῶν ἄλλων προέχων συνέσει τε καὶ φρονήσει κεκοσμημένος, καὶ λόγῳ ἀπηρτισμένος ἐκ νεαρᾶς ἡλικίας ἐν τοῖς κόλποις τῆς κοινῆς ἡμῶν μητρὸς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας ἐντεθραμμένος, καὶ τὴν σύστασιν αὐτῆς διακαῶς ποθῶν. Καὶ δὴ κατὰ τὴν ἱερὰν ἐκκλησιαστικὴν διατύπωσιν, τῶν κανονικῶν ψήφων τελεσθεισῶν πρῶτον μὲν ἐθέμεθα τὴν αὐτοῦ θεοπρόβλητον πανιερότητα, δεύτερον δὲ τὸν Χρύσανθον, καὶ τρίτον τὸν Μελέτιον, ὧν καὶ τὰ ὀνόματα κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ͵αωκα', κατὰ μῆνα Ἀπρίλιον, ἐπινεμ. θ'.

† ὁ Καισαρείας ***Ἰωαννίκιος*** — † ὁ Νικαίας ***Μακάριος*** — † Χαλκηδόνος ***Γρηγόριος*** — † ὁ Μηθύμνης — † ὁ Βιζύης ***Ἱερεμίας*** — † ὁ Λήμνου ***Μακάριος.***

*
* *

Ὁρισμὸς πρὸς ἐκλογὴν πατριάρχου εἰς διαδοχὴν τοῦ θανόντος Εὐγενίου Β΄ 167).

Πρὸς τοὺς μικροὺς καὶ μεγάλους τοῦ ρωμαϊκοῦ ἔθνους.

Ἐπειδὴ θανόντος νῦν τοῦ πατριάρχου ὑμῶν εἶνε ἀνάγκη νὰ διορισθῇ εἰς τὴν θέσιν αὐτοῦ πατριάρχης ὅστις νὰ δύναται μετὰ ἔρευναν καὶ ἐξέλεγξιν πάντοτε τῆς καλῆς καὶ κακῆς καταστάσεως τοῦ ἔθνους του νὰ παρέχῃ συμβουλὰς εἰς τοὺς ἔχοντας ἀνάγκην καὶ νὰ γνωστοποιῇ εἰς τὸ ὑψηλὸν δεβλέτι τοὺς ἀρνουμένους νὰ δεχθῶσι ταύτας καὶ ἐπιμένοντας εἰς τοῦτο καὶ ὅστις νὰ ἐπιδείξῃ πίστιν εἰς τὸ ὑψηλὸν σουλτανάτον χωρὶς νὰ ρίπτῃ καὶ νῦν καὶ εἰς τὸ μέλλον τὸ ἔθνος του εἰς κινδύνους μεγάλους, διὰ ταῦτα δέον νὰ ἐκλέξητε πατριάρχην οἱονδήτινα ἐξ ὑμῶν, ὅστις θὰ δύναται πάντοτε νὰ ἐπιβάλῃ εἰς τὸ ἔθνος του τὴν ἐκτέλεσιν τῶν θρησκευτικῶν καθηκόντων, νὰ ὑπηρετῇ τὸ ὑψηλὸν δεβλέτι καὶ νῦν καὶ ἐν τῷ μέλλοντι μετὰ πίστεως καὶ εὐθύτητος ἀπέχων ἀπὸ πάσης ἀτιμίας καὶ προδοσίας ρίπτων καὶ ἐξεγείρων δι' ὑποκινήσεως τὸ ἔθνος του εἰς μεγάλους κινδύνους καὶ νὰ σωφρονίζῃ τοὺς ἐν τῷ ἔθνει του κακοβούλους σπεύδων ἄνευ ἀναβολῆς ὅπως γνωστοποιῇ εἰς τὸ ὑψηλὸν δεβλέτι πάντας τοὺς μὴ δεχομένους νὰ σωφρονισθῶσι· μετὰ τὴν ἐκλογὴν ἑνὸς τοιούτου πατριάρχου δηλώσατε ἀπὸ κοινοῦ τὸ γεγονὸς ἵνα διορισθῇ οὗτος ἀπὸ μέρους τοῦ ὑψηλοῦ δεβλετίου πατριάρχης.

21 Ζιλχιδζὲ 1237.

(ἀκολουθεῖ).

167) Ὁ «ὁρισμὸς» οὗτος εὕρηται τουρκιστὶ ἀντιγεγραμμένος ἐν σελ. 20 τοῦ ΙΔ' κώδικος τοῦ Πατρ. Ἀρχειοφυλακείου. — Ἡ μουσουλμανικὴ χρονολογία τοῦ «ὁρισμοῦ» μετατρεπομένη εἰς ἰουλιανὴν τοιαύτην ἀντιστοιχεῖ πρὸς τὴν 27 Ἰουλίου 1822.

Η ΕΝ ΔΩΔΕΚΑΝΗΣΩι ΟΡΘΟΔΟΞΟΣ ΕΚΚΛΗΣΙΑ

Πατριαρχικὴ καὶ Συνοδικὴ Πρᾶξις

περὶ τῆς νήσου Καλύμνου.

† *Βενιαμὶν ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.*

Ἀρ. Πρωτ. 1200·

Τῆς κρείττονος πάντοτε καὶ ἀσφαλεστέρας τοῦ χριστεπωνύμου πληρώματος προστασίας, οἰκοδομῆς τε καὶ σωτηρίας ἐν τῇ ἐκκλησιαστικῇ διακυβερνήσει στοχαζομένη ἡ Μετριότης ἡμῶν μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀξιοχρέως καὶ νῦν, ἐπὶ τῇ ἐξετάσει τῶν ἐν τῇ νήσῳ Καλύμνῳ ἀπὸ χρόνου ἱκανοῦ ἀναφυέντων ἐν τοῖς αὐτόθι ἐκκλησιαστικοῖς πράγμασι καὶ διασκέψει ἐπ' αὐτῶν, ἔγνωμεν, πρὸς τὰς ἐνεστώσας ἀνάγκας καὶ περιστάσεις τὰ αὐτόθι ρυθμίζοντες καὶ διατάττοντες, τὴν εἰρημένην νῆσον Κάλυμνον, ἀποτελοῦσαν ἄχρι τοῦδε τμῆμα τῆς ἱερᾶς μητροπόλεως Λέρου καὶ Καλύμνου, ἀποσπάσαι τῆς ἐπαρχίας ταύτης καὶ προσαρτῆσαι τῇ ἱερᾷ μητροπόλει Κώου καὶ ὀνομάσαι ταύτην μὲν «Ἱερὰν Μητρόπολιν Κώου καὶ Καλύμνου», ἐκείνην δὲ «Ἱερὰν Μητρόπολιν Λέρου καὶ Ἀστυπαλαίας».

Ἐφ' ᾧ εἰς δήλωσιν καὶ βεβαίωσιν καὶ μόνιμον παράστασιν τῶν οὕτω ἐκκλησιαστικῶς κριθέντων καὶ ὁρισθέντων ἐγένετο καὶ ἡ παροῦσα Πατριαρχικὴ ἡμῶν καὶ Συνοδικὴ Πρᾶξις, καταστρωθεῖσα καὶ ὑπογραφεῖσα ἐν τῷδε τῷ κώδικι τῆς καθ' ἡμᾶς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ἐν ἴσῳ δὲ καὶ ἀπαραλλάκτῳ ἀποσταλεῖσα τῷ τε ἱερωτάτῳ μητροπολίτῃ Λέρου καὶ Ἀστυπαλαίας κ. Ἀποστόλῳ καὶ τῷ γενικῷ ἐπιτρόπῳ τῆς ἱερᾶς μητροπόλεως Κώου καὶ Καλύμνου ὁσιολογιωτάτῳ ἀρχιμανδρίτῃ κ. Φιλήμονι, πρὸς κατάθεσιν ἐν τοῖς ἀρχείοις τῶν οἰκείων ἱερῶν μητροπόλεων.

Ἐν ἔτει σωτηρίῳ ,αϠλζ', κατὰ μῆνα μάϊον (α'), ἐπινεμήσεως ε'.

† ***Ὁ Πατριάρχης Κωνσταντινουπόλεως Βενιαμὶν ἀποφαίνεται.***

† ὁ Χαλκηδόνος ***Μάξιμος***
† ὁ Προύσης ***Πολύκαρπος***
† ὁ Σάρδεων καὶ Πισιδίας ***Γερμανός***
† ὁ Θεοδωρουπόλεως ***Λεόντιος***
† ὁ Χριστουπόλεως ***Μελέτιος***
† ὁ Αἴνου ***Γερμανός***
† ὁ Δέρκων ***Ἰωακεὶμ***
† ὁ Πριγκηπονήσων ***Θωμᾶς***
† ὁ Ἡλιουπόλεως καὶ Θείρων ***Γεννάδιος***
† ὁ Εἰρηνουπόλεως ***Κωνσταντῖνος***
† ὁ Λαοδικείας ***Δωρόθεος***

Η ΕΝ ΑΛΒΑΝΙΑι ΟΡΘΟΔΟΞΟΣ ΕΚΚΛΗΣΙΑ

Ἀπαντητικῶς εἰς τὴν ἀπὸ ιθ' Ἀπριλίου ἐ. ἔ., ἀρ. πρωτ. 636, σεπτὴν Πατριαρχικὴν πρὸς τοὺς Προέδρους τῶν Ἁγιωτάτων Αὐτοκεφάλων Ὀρθοδόξων Ἐκκλησιῶν ἐπιστολήν, περὶ τῆς γενομένης ὑπὸ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἀνακηρύξεως τοῦ αὐτοκεφάλου τῆς ἐν Ἀλβανίᾳ Ὀρθοδόξου Ἐκκλησίας, ἐλήφθησαν τὰ κατωτέρω καταχωριζόμενα Γράμματα τῶν Μακαριωτάτων Πατριαρχῶν Ἀλεξανδρείας κ. Νικολάου καὶ Ἀντιοχείας κ. Ἀλεξάνδρου, τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κ. Χρυσοστόμου καὶ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Πάφου κ. Λεοντίου, Τοποτηρητοῦ τοῦ Ἀρχιεπισκοπικοῦ Θρόνου τῆς Κύπρου.

***

Ἀρθ. 1074.

ΒΕΝΙΑΜΙΝ

τῷ Παναγιωτάτῳ Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικῷ Πατριάρχῃ.

ΝΙΚΟΛΑΟΣ

Πάπας καὶ Πατριάρχης Ἀλεξανδρείας καὶ πάσης Ἀφρικῆς ἀσπασμὸν ἅγιον ἐν Χριστῷ Σωτῆρι.

Χαρᾶς εὐαγγέλια ἐκομίσαντο ἡμῖν τὰ ὑπ' ἀριθ. 636 καὶ ἀπὸ 19ης Ἀπριλίου ἐ. ἔ. γράμματα τῆς περισπουδάστου Ὑμετέρας Παναγιότητος, τὴν κανονικὴν διευθέτησιν τοῦ ἀπὸ πολλοῦ Αὐτὴν καὶ τὴν καθ' ὅλου Ἐκκλησίαν τοῦ Χριστοῦ ἀπασχολοῦντος ἐκκλησιαστικοῦ ζητήματος τῆς ἀνωμάλου καταστάσεως τῆς ἐν Ἀλβανίᾳ Ἐκκλησίας, ἐφ' ᾧ καὶ συγχαίρομεν Αὐτῇ ἐπὶ τῇ συνετῇ λύσει.

Μετὰ τῆς περὶ ἡμᾶς Ἁγίας Συνόδου, ἐν ἐκτάκτῳ Συνεδρίᾳ κατ' αὐτὰς ἐργαζομένης, ἐδοξάσαμεν τὸν Ἀρχιποίμενα τῆς Ἐκκλησίας Χριστόν, τὸν κατὰ πάντα πανσόφως καὶ πρὸς τὸ συμφέρον Αὐτῆς οἰκονομοῦντα καὶ μετὰ τοῦ ἀγαπητοῦ ἐν Χριστῷ ἀδελφοῦ Ἀρχιεπισκόπου Τυράννων καὶ πάσης Ἀλβανίας κ. Χριστοφόρου κοινωνίας γράμματα ἐπὶ ταῖς προλαβούσαις μεγάλαις ἑορταῖς τῆς Ἀναστάσεως τοῦ Κυρίου προφρόνως ἀντηλλάξαμεν, εὐχηθέντες τὰ τῇ περιστάσει εἰκότα.

Δεόμενοι τοῦ Ἀναστάντος Σωτῆρος καὶ τῷ κόσμῳ ζωὴν χαρισαμένου, ὅπως περιέπῃ καὶ ἐνισχύῃ τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν καὶ τὸν

σεπτὸν Αὐτῆς Προκαθήμενον εἰς σοφὴν καὶ συμφέρουσαν πάντοτε κατεύθυνσιν τῆς ὁλκάδος Αὐτοῦ, διατελοῦμεν

Ἐν Ἀλεξανδρείᾳ τῇ 3ῃ Ἰουνίου 1937

Τῆς Ὑμετέρας γερασμίας Παναγιότητος
ἀγαπητὸς ἐν Χῷ ἀδελφὸς
† ***Ὁ Ἀλεξανδρείας Νικόλαος.***

Ἀριθ. 282.

Παναγιώτατε καὶ Σεβασμιώτατε Ἀρχιεπίσκοπε Κωνσταντινουπόλεως, Νέας Ρώμης, καὶ Οἰκουμενικὲ Πατριάρχα, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περισπούδαστε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν Μετριότητος κύριε Βενιαμίν, τὴν Ὑμετέραν σεβασμίαν Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι, ὑπερήδιστα προσαγορεύομεν.

Ἐγκαίρως ἐλήφθη καὶ μετ᾽ ἐνδιαφέροντος ἀνεγνώσθη ἡ ἀπὸ 19 Ἀπριλίου καὶ ὑπ᾽ ἀριθμ. 636 σεπτὴ ἐπιστολὴ τῆς Ὑμετέρας γερασμίας Παναγιότητος, πληροφορήσασα ἡμᾶς περὶ τῆς ὁριστικῆς διευθετήσεως τοῦ ἀπὸ ἐτῶν ἀπασχολοῦντος τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν ἐκκρεμοῦς ζητήματος τῆς ἐν Ἀλβανίᾳ Ὀρθοδόξου Ἐκκλησίας καὶ ἀνακηρύξεως τῆς ἐν τῷ νεαρῷ Ἀλβανικῷ κράτει ἐκκλησιαστικῆς περιοχῆς τῶν Ὀρθοδόξων χριστιανῶν εἰς ἰδίαν αὐτοτελῆ καὶ αὐτοκέφαλον ἐκκλησιαστικὴν ὀργάνωσιν καὶ ἀναδείξεως αὐτῆς καὶ συγκαταριθμήσεως μεταξὺ τῶν αὐτοκεφάλων Ὀρθοδόξων Ἐκκλησιῶν δι᾽ ἐκδόσεως τοῦ περὶ τούτου νενομισμένου Πατριαρχικοῦ καὶ Συνοδικοῦ Τόμου.

Τὸ ἱστορικὸν τοῦτο γεγονὸς τῆς χειραφετήσεως τῆς ἐν Ἀλβανίᾳ Ὀρθοδόξου Ἐκκλησίας καὶ ἀναδείξεως αὐτῆς εἰς Αὐτοκέφαλον Ἐκκλησίαν ἀποβλέπει μὲν κυριολεκτικῶς καὶ ἐνδιαφέρει αὐτὴν τὴν ἐν Ἀλβανίᾳ Ἐκκλησίαν, τιμᾷ ὅμως τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν διὰ τὴν τελειωτικὴν αὐτοῦ ἀποπεράτωσιν εἰς ὄφελος καὶ πνευματικὴν οἰκοδομὴν τῆς πρὶν θυγατρὸς καὶ νῦν εἰς ἀνάστημα ἡλικίας φθασάσης ἀδελφῆς Ἐκκλησίας, ἀλλὰ καὶ τὰ μάλα εὐφραίνει τὰς λοιπὰς αὐτοκεφάλους Ἐκκλησίας, ὅτι μία ἐπὶ πλέον χεὶρ ἀδελφικὴ ἐτάθη πρὸς ἀλληλοβοήθειαν καὶ ἀποσόβησιν τοῦ ἐπαπειλοῦντος τὴν ὁλομέλειαν τῆς Ἐκκλησίας κινδύνου τῆς ἀθεΐας καὶ τοῦ ξένου προσηλυτισμοῦ.

Διὰ τοῦτο μετὰ χαρᾶς ἐνωτίσθημεν τὴν ὡς ἄνω ἀναγγελίαν τῆς Ὑμετέρας Παναγιότητος περὶ τῆς ὑπ᾽ Αὐτῆς καὶ τῆς περὶ Αὐτὴν Ἁγίας καὶ Ἱερᾶς Συνόδου κηρύξεως καὶ εὐλογήσεως τοῦ αὐτοκεφάλου τῆς ἐν Ἀλβα-

νίᾳ Ἐκκλησίας καὶ τῆς ἀνεξαρτήτου διοργανώσεως Αὐτῆς ὑπὸ Ἱερὰν Σύνοδον, ἔχουσαν πρόεδρον τὸν κατὰ καιροὺς «σεβασμιώτατον Ἀρχιεπίσκοπον Τυράννων καὶ πάσης Ἀλβανίας».

Ἐπικοινωνήσαντες τηλεγραφικῶς καὶ δι' ἐπιστολῆς τῷ σεβασμιωτάτῳ Προέδρῳ τῆς Αὐτοκεφάλου ἐν Ἀλβανίᾳ Ἐκκλησίας καὶ ἐκφράσαντες τὰ ἐπὶ τῷ χαροποιῷ γεγονότι ἀδελφικὰ ἡμῶν αἰσθήματα καὶ τὴν ἐκτίμησιν τῆς καθ' ἡμᾶς Ἀντιοχικῆς Ἐκκλησίας, προαγόμεθα διὰ τῆς παρούσης ἀδελφικῆς ἐπιστολῆς εὐχαριστῆσαι τήν τε Ὑμετέραν σεβασμίαν Παναγιότητα καὶ τὴν περὶ Αὐτὴν Ἁγίαν καὶ Ἱερὰν Σύνοδον διὰ τὴν τοιουτοτρόπως αἰσίαν ἐπίλυσιν τοῦ Ἀλβανικοῦ ἐκκλησιαστικοῦ ζητήματος καὶ εὔχεσθαι ὑπὲρ τῆς εὐοδώσεως πάντων τῶν ποιμαντορικῶν Αὐτῆς μελημάτων καὶ ἐπιχειρήσεων.

Ἐν Δαμασκῷ, τῇ 9 Ἰουνίου 1937

Τῆς Ὑμετέρας γερασμίας Παναγιότητος
ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς
† ***Ὁ Ἀντιοχείας Ἀλέξανδρος.***

Ἀριθ. 1304.

Παναγιώτατε καὶ Θειότατε Ἀρχιεπίσκοπε Κωνσταντινουπόλεως, Νέας Ρώμης, καὶ Οἰκουμενικὲ Πατριάρχα, ἐν Χριστῷ τῷ Θεῷ σεβασμιώτατε καὶ περισπούδασται ἀδελφὲ καὶ συλλειτουργὲ Κύριε Βενιαμίν, τὴν Ὑμετέραν Παναγιότητα ἐν Κυρίῳ κατασπαζόμενοι ὑπερήδιστα προσαγορεύομεν.

Χαίροντες ἐκομισάμεθα μετὰ τῆς περὶ ἡμᾶς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τὰ ἀπὸ ιθ' Ἀπριλίου ἐν. ἔτ. ὑμέτερα Πατριαρχικὰ καὶ Συνοδικὰ γράμματα, ἀγγέλλοντα ἡμῖν τὴν κανονικὴν διευθέτησιν τῆς ἐν Ἀλβανίᾳ Ὀρθοδόξου Ἐκκλησίας καὶ τὴν διὰ Πατριαρχικοῦ καὶ Συνοδικοῦ Τόμου ἀνακήρυξιν αὐτῆς ὡς Ἐκκλησίας Αὐτοκεφάλου, ἅμα δὲ τὴν ἐν αὐτῇ ἀποκατάστασιν κανονικῆς Ἱεραρχίας ὑπὸ τὸν Σεβασμιώτατον Ἀρχιεπίσκοπον Τυράννων καὶ πάσης Ἀλβανίας κὺρ Χριστοφόρον.

Ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία ἐπὶ τῷ γεγονότι τούτῳ ἀξία τυγχάνει ἐνθέρμων συγχαρητηρίων, διότι αὕτη, τῆς κανονικῆς ἀκριβείας πάντοτε στοχαζομένη καὶ μετὰ συνέσεως πολλῆς φιλοστόργως μεριμνήσασα περὶ τοῦ ἐν Ἀλβανίᾳ ὀρθοδόξου πληρώματος, τὴν κανονικὴν ἀποκατεστήσατο τάξιν, ἐν τῇ ἐν τῇ χώρᾳ ἐκείνῃ Ὀρθοδόξῳ Ἐκκλησίᾳ, συγκαταριθμησαμένη ἅμα καὶ ἑνώσασα ταῖς λοιπαῖς Ὀρθοδόξοις Ἐκκλησίαις τὴν νέαν ταύτην Αὐτοκέφαλον Ἐκκλησίαν.

Ὅθεν συγχαίροντες τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, τῇ καλλιτέκνῳ πνευματικῇ Μητρὶ τοσούτων ἐπὶ μέρους Ἁγίων τοῦ Θεοῦ Ὀρθοδόξων Ἐκκλησιῶν, ἐπὶ τῇ ἀναδείξει τῆς νέας ταύτης ἀδελφῆς Ἐκκλησίας, δεόμεθα τοῦ Ἀρχιποίμενος Χριστοῦ περισκέπειν αὐτὴν διὰ τῆς θείας Αὐτοῦ χάριτος καὶ εἰς πνευματικὴν ἐπίδοσιν προάγειν ἐπ' ἀγαθῷ τοῦ τε ὀρθοδόξου ἐν Ἀλβανίᾳ πληρώματος καὶ τῆς καθόλου Ὀρθοδόξου Ἐκκλησίας. Προσεπιδηλοῦμεν δὲ ὅτι τῇ ἀδελφικῇ ἀξιώσει τῆς Ὑμετέρας Θειοτάτης Παναγιότητος στοιχοῦσα ἡ ἐν Ἑλλάδι Ὀρθόδοξος Ἐκκλησία προθύμως, εἴ γε δεήσει, συναντιληφθήσεται τῇ νέᾳ καὶ ὁμόρῳ ἀδελφῇ Ἐκκλησίᾳ. Ἤδη δὲ καὶ ἐκοινωνήσαμεν ἐκκλησιαστικῶς τῷ Σεβασμιωτάτῳ Ἀρχιεπισκόπῳ τῆς ἐν Ἀλβανίᾳ Ἐκκλησίας.

Ἐπὶ τούτοις ἐν ἀπείρῳ τιμῇ καὶ ἀγάπῃ διατελοῦμεν

Τῆς Ὑμετέρας Παναγιότητος
ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς
† ***Ὁ Ἀθηνῶν Χρυσόστομος.***

Ἀθήνησι α' Ἰουνίου ,αϡλζ'.

Ἀριθμ. Πρωτ. 609.

Παναγιώτατε καὶ Θειότατε Ἀρχιεπίσκοπε Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὲ Πατριάρχα, ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ κύριε κύριε Βενιαμίν, τὴν Ὑμετέραν σεβασμίαν Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ Ἰησοῦ κατασπαζόμενοι, ὑπεριήδιστα προσαγορεύομεν.

Ἄσμενοι ἐδεξάμεθα καὶ μετὰ τῆς δεούσης προσοχῆς ἐμελετήσαμεν τὰ ὑπ' ἀρ. 636 καὶ ἀπὸ ιθ' παρελθόντος μηνὸς Ἀπριλίου τίμια Γράμματα τῆς Ὑμετέρας Θειοτάτης καὶ Σοφωτάτης Παναγιότητος, δι' ὧν αὕτη γνωρίζει ἡμῖν τε καὶ τῇ καθ' ἡμᾶς Ἁγιωτάτῃ Ἐκκλησίᾳ τὴν θείᾳ εὐλογίᾳ καὶ διὰ τῶν σοφῶν ἐνεργειῶν τῆς Ὑμετέρας Θεοφρουρήτου Παναγιότητος ὁριστικὴν διευθέτησιν τοῦ ἐπὶ μακρὸν ὄντως ἀπασχολήσαντος τὴν Μητέρα Ἐκκλησίαν Ἀλβανικοῦ Ἐκκλησιαστικοῦ ζητήματος.

Τὸ περιεχόμενον τῶν Ὑμετέρων γραμμάτων ἐθέσαμεν πρὸ τῶν ἐν ὑπερορίᾳ ἀγαπητῶν ἐν Χριστῷ ἀδελφῶν ἡμῶν, νῦν δὲ κατέχοντες τὰς γνώμας αὐτῶν ἐκφράζομεν ἐκ μέρους τῆς Ἱερᾶς Συνόδου Κύπρου ἐγκάρδια καὶ θερμότατα συγχαρητήρια πρὸς τὴν Μεγάλην Ἐκκλησίαν ἐπὶ τῇ πλήρει ἐν προκειμένῳ κατισχύσει τοῦ δικαίου αὐτῆς καὶ τῆς κανονικῆς τάξεως,

τοῦθ' ὅπερ ὀφείλεται ἀπολύτως εἰς τὴν ἐν τῇ κανονικῇ ταύτῃ τάξει σταθερὰν καὶ ἀξιοπρεπῆ ἐμμονὴν αὐτῆς, ἀναγκάσαν οὕτω τὴν ἐν λόγῳ πνευματικὴν ἑαυτῆς θυγατέρα ὅπως συναισθανομένη τὸ σφάλμα αὐτῆς ἐπανέλθῃ εἰς τὴν εὐθεῖαν καὶ κανονικὴν ὁδόν.

Ἡ ἐπίσημος αὕτη καὶ ἐν ταὐτῷ ἀδελφικὴ περὶ τοῦ ἐν λόγῳ ζητήματος ἀνακοίνωσις τῆς Ὑμετέρας Γερασμιωτάτης Ἀγάπης ἐνέπλησε χαρᾶς ἡμᾶς τε καὶ τὴν καθ' ἡμᾶς Ἐκκλησίαν διὰ τὴν φιλόστοργον ἅμα καὶ ἐπιτυχῆ λύσιν τοῦ ζητήματος, τουτέστι τὴν κύρωσιν τοῦ αὐτοκεφάλου τῆς Ἀλβανικῆς Ἐκκλησίας, ἥντινα καὶ ἡ καθ' ἡμᾶς Ἁγιωτάτη Ἐκκλησία Κύπρου μετὰ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας μεταξὺ τῶν Αὐτοκεφάλων Ὀρθοδόξων Ἐκκλησιῶν ἤδη συγκαταριθμεῖ καὶ ὡς ἀδελφὴν ἀπὸ τοῦ νῦν γε λογίζεται, τὸν δὲ Σεβασμιώτατον Ἀρχιεπίσκοπον Τυράννων καὶ πάσης Ἀλβανίας κύριον Χριστοφόρον διαβεβαιούμεθα τὴν Ὑμετέραν περισπούδαστον Ἀγάπην ὅτι ὡς Προκαθήμενον τῆς νεωτέρας ταύτης ἀδελφῆς Ἐκκλησίας ἐκτιμῶντες καὶ τὰ ἀνήκοντα αὐτῷ ἀπονέμοντες, οὐ παύσομεν διὰ τῆς ἐν Χριστῷ ἀδελφικῆς ἡμῶν ἀγάπης περιβάλλειν, δεόμενοι τῷ Ἀρχηγῷ καὶ Νυμφίῳ τῆς Ἐκκλησίας ὑπὲρ αὐτοῦ τε καὶ τῆς περὶ αὐτὸν Ἁγίας καὶ Ἱερᾶς Συνόδου καὶ τῆς κατὰ Χριστὸν προκοπῆς τοῦ χριστωνύμου αὐτοῦ ποιμνίου.

Ταῦτα εἰς ἀπάντησιν γράφοντες τῶν τιμίων καὶ ἀδελφικῶν τῆς Ὑμετέρας πεπνυμένης Παναγιότητος Γραμμάτων, φιλήματι δὲ ἁγίῳ κατασπαζόμενοι Αὐτήν, διατελοῦμεν

Ἐν τῇ Ἱερᾷ Μητροπόλει Πάφου τῇ 23 Ἰουνίου 1937

Τῆς Ὑμετέρας Θειοτάτης Παναγιότητος
ἐλάχιστος καὶ ὅλως πρόθυμος ἐν Χριστῷ ἀδελφὸς
† ***Ὁ Πάφου Λεόντιος***
Τοποτηρητὴς
τοῦ Ἀρχιεπισκοπικοῦ Θρόνου Κύπρου.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

ΑΡΧΙΕΠΙΣΚΟΠΗ

Ἡ Α. Θ. Παναγιότης ἐν Χάλκῃ.

Ἡ Α. Θ. Παναγιότης τῇ 1ῃ τοῦ παρόντος μηνὸς μεταβᾶσα δι' ἰδιαιτέρας ἀτμακάτου εἰς Χάλκην ἐφησύχασε μέχρι προχθὲς 29 λήγοντος ἐν τοῖς ἰδιαιτέροις πατριαρχικοῖς διαμερίσμασι τῆς ἱ. πατρ. καὶ σταυροπηγ. μονῆς τῆς Ἁγίας Τριάδος.

Πατριαρχικὰ συγχαρητήρια.

— Ἐπὶ τῇ ἐθνικῇ ἑορτῇ τῶν Γάλλων (14 Ἰουλίου) ἀπὸ μέρους τῆς Α. Θ. Παναγιότητος διεβίβασε τὸ συγχαρητήρια Αὐτῆς τῷ ἐνταῦθα ἐξοχωτάτῳ Πρεσβευτῇ τῆς Γαλλίας κ. Ponsot ὁ πανοσιολ. Μ. Πρωτοσύγκελλος κ. Ἀδαμάντιος μετὰ τοῦ Διερμηνέως τῶν Πατριαρχείων κ. Σπυρ. Κωνσταντινίδου.

— Τοῖς ἄγουσι τὰ ὀνομαστήρια : θεοφιλ. ἐπισκόπῳ Λεύκης κ. Παγκρατίῳ, ἀρχι/κῶς προϊσταμένῳ Ταταούλων (9 μηνός), καὶ τοῖς σεβασμιωτάτοις ἀρχιεπισκόπῳ Ἀμερικῆς κ. Ἀθηναγόρᾳ (24) καὶ μητροπολίτῃ Ἐλασσῶνος κ. Καλλινίκῳ (29) διεβιβάσθησαν αἱ πατριαρχικαὶ συγχαρητήριοι εὐχαὶ τῷ μὲν πρώτῳ διὰ τοῦ πανοσιολ. Μ. Ἀρχιδιακόνου κ. Γρηγορίου, τοῖς δὲ λοιποῖς διὰ πατριαρχικῶν γραμμάτων.

— Ὁ πανοσ. Μ. Ἀρχιδιάκονος κ. Γρηγόριος διεβίβασε τὰς πατρ. εὐχὰς τῷ ἐκ τῶν Ἐφόρων τῶν Νοσοκ. Βαλουκλῆ ἰατρῷ κ. Φ. Ταπεινῷ ἐπὶ τοῖς γάμοις αὐτοῦ μετὰ τῆς δ/δος Ἀγγελ. Σάρου, τελεσθεῖσι τῇ 13 λήγοντος.

Πατριαρχικὰ συλλυπητήρια.

Ἐπὶ τῷ θανάτῳ τοῦ προέδρου τῆς ἐκκλησιαστικῆς ἐπιτροπῆς Ἁγίας Τριάδος Πέραν Βασιλείου Ἀφεντούλη (15 μην.) τὰ συλλυπητήρια τῆς Α. Θ. Παναγιότητος διεβίβασε τῇ οἰκογενείᾳ αὐτοῦ ὁ πανοσιολ. Μ. Ἀρχιδιάκονος, παραστὰς ἅμα ἀπὸ μέρους Αὐτῆς καὶ κατὰ τὴν κηδείαν, τελεσθεῖσαν τῇ ἑπομένῃ ἐν τῷ ἱ. ναῷ τῆς Ἁγίας Τριάδος ἐν μέσῳ πολλοῦ πλήθους, προεξάρχοντος τοῦ σεβ. μητροπολίτου Σάρδεων κ. Γερμανοῦ μετὰ τοῦ σεβ. μητροπολίτου Εἰρηνουπόλεως κ. Κωνσταντίνου καὶ τοῦ θεοφ. ἐπισκόπου Λεύκης κ. Παγκρατίου.

Πατριαρχικὸς Ναός.

— Τῇ Κυριακῇ 11 Ἰουλίου, ἐπὶ τῇ μνήμῃ τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Πανευφήμου Εὐφημίας, ἧς τὸ ἱερὸν λείψανον εὕρηται ἀποτεθησαυρισμένον ἐν τῷ Πανσέπτῳ Πατριαρχικῷ Ναῷ, ἐλειτούργησεν ἐν αὐτῷ ἐντολῇ τῆς Α. Θ. Παναγιότητος ὁ σεβ. Μητροπολίτης Φιλαδελφείας κ. Αἰμιλιανός, κηρύξας καὶ τὸν θεῖον λόγον.

— Κατὰ τὰς λοιπὰς Κυριακὰς καὶ ἑορτὰς τοῦ μηνός, ἐκτὸς τῆς 25, καθ' ἣν ἐλειτούργησεν, ὡς ἀλλαχοῦ σημειοῦται, ὁ σεβ. Μητροπολίτης Χριστουπόλεως κ. Μελέτιος, ἐχοροστάτησεν ἐν τῷ Πανσέπτῳ Πατριαρχικῷ Ναῷ ὁ πανοσιολογιώτατος Μ. Πρωτοσύγκελλος.

Παρασημοφορία ἀνωτέρων ὑπαλλήλων τοῦ Π/χείου.

Ἡ Α. Μεγαλειότης ὁ Βασιλεὺς τῆς Ρουμανίας Κάρολος Β′ ἀπένειμε τὸ παράσημον τοῦ Ρουμανικοῦ Στέμματος Β′ τάξεως τῷ πανοσιολ. Μ. Πρωτοσυγκέλλῳ κ. Αδαμαντίῳ καὶ τῷ Διερμηνεῖ τῶν Π/χείων κ. Σπυρ. Κωνσταντινίδη, τὸ αὐτὸ δὲ παράσημον Γ′ τάξεως τῷ πανοσιολ. Μ. Ἀρχιδιακόνῳ κ. Γρηγορίῳ.

Ἡ « Ὀρθοδοξία » συγχαίρει τοῖς παρασημοφορηθεῖσι.

Ἐπισκέψεις.

Τὴν Α. Θ. Παναγιότητα ἐπεσκέφθησαν :

— Τῇ 1ῃ Ἰουλίου ὁ Ἐπιτετραμμένος τῆς Ἑλλάδος Α′ Γραμματεὺς τῆς ἐν Ἀγκύρᾳ Ἑλληνικῆς Πρεσβείας κ. Κλέων Συνδίκας, μετὰ τοῦ Ὑποπροξένου τῆς Ἑλλάδος κ. Γ. Χριστοδούλου.

— Τῇ 10 ὁ ἐπ᾽ εὐλογίᾳ ποιμαντορικῇ ἐπισκεφθεὶς τὴν ἐνταῦθα Κοινότητα τῶν Συροχαλδαίων ἐν Μαρδὶν ἑδρεύων Συροχαλδαῖος Μητροπολίτης Τιμόθεος, ἐπισκεφθεὶς τὴν προτεραίαν καὶ τὰ Πατριαρχεῖα.

Τὴν Α. Σεβασμιότητα ἀπὸ μέρους τῆς Α. Θ. Παναγιότητος ἀντεπεσκέφθη ὁ πανοσιολ. Μ. Ἀρχιδιάκονος κ. Γρηγόριος ἐν συνοδείᾳ τοῦ Διευθυντοῦ τοῦ Τουρκικοῦ Γραφείου κ. Εὐθυμίου Μαυρίδου.

— Τῇ 20ῇ ὁ ἐνταῦθα Γενικὸς Πρόξενος τῆς Ἑλλάδος κ. Λ. Γάφος, ἐπανακάμψας ἐκ τοῦ ἐπ᾽ ἀδείᾳ τελευταίου ταξειδίου αὐτοῦ.

— Τῇ 23ῃ ὁ Πρόεδρος τῆς Κεντρικῆς Ἐφορείας Σταυροδρομίου κ. Νικόλαος Σγουρίδης.

— Τῇ 30ῇ ὁ Πρόεδρος τῆς ἐν Πέρθῃ τῆς Αὐστραλίας Ἑλληνικῆς Ὀρθοδόξου Κοινότητος κ. Πέτρος Μιχελίδης μετὰ τοῦ υἱοῦ αὐτοῦ, ἐν συνοδείᾳ τοῦ σεβ. Ἀρχιεπισκόπου Αὐστραλίας κ. Τιμοθέου.

ΙΕΡΑ ΣΥΝΟΔΟΣ

Συνοδικαὶ συνεδρίαι.

Ἐφησυχαζούσης ἐν Χάλκῃ τῆς Α. Θ. Παναγιότητος σεπτῇ ἐντολῇ Αὐτῆς τῆς Ἁγίας καὶ Ἱ. Συνόδου προήδρευε κατὰ τὸν μῆνα τοῦτον ὁ α′ τῇ τάξει τῶν Συνοδικῶν σεβ. Μ/της Χαλκηδόνος κ. Μάξιμος. Τῆς συνοδικῆς συνεδρίας τῆς 31 λήγοντος προήδρευσεν ἡ Α. Θ. Παναγιότης κατελθοῦσα ἐκ Χάλκης.

Ἀρχιερατικὸν ἰωβηλαῖον.

Ἐξ ἐπιστολῆς τοῦ σεβ. Μ. Θεσσαλονίκης κ. Γενναδίου πρὸς τὴν Α. Θ. Παναγιότητα ἐγνώσθη ἡ συμπλήρωσις εἰκοσιπενταετίας ἀπὸ τῆς προαγωγῆς τῆς Α. Σεβ. ἐκ τῆς ἱ. μ/λεως Λήμνου εἰς τὴν ἱ. μ/λιν Θεσσαλονίκης. Τὸ αἴσιον τοῦτο ἰωβηλαῖον τῆς τετιμημένης ποιμαντορίας τῆς Α. Σεβ. ἐν τῇ ἀποστολικῇ ἐκκλησίᾳ Θεσσαλονίκης ἐχαιρετίσθη μετὰ πολλῆς χαρᾶς ὑπό τε τῆς Μητρὸς Ἐκκλησίας καὶ ὑπὸ πάντων τῶν ἀπειραρίθμων κληρικῶν καὶ λαϊκῶν φίλων καὶ θαυμαστῶν αὐτῆς, ἐκτιμώντων βαθέως τὸ ὑπ᾽ αὐτῆς διανυθὲν πλούσιον εἰς ἔργα ἀξιόζηλα ποιμαντορικὸν στάδιον. Ἡ Ἐκκλησία διὰ καταλλήλου Πατριαρχικοῦ Γράμματος ἐξέφρασε τῇ Α. Σεβ. θερμὰ συγχαρητήρια ἐπὶ τῷ εὐτυχεῖ τούτῳ γεγονότι μετὰ καὶ ἐνδομύχων εὐχῶν ὅπως ἐν ὑγείᾳ ἀστεμφεῖ ἐξακολουθήσῃ αὕτη ἐπιτελοῦσα καὶ ἐφεξῆς τὸ τετιμημένον αὐτῆς ἔργον ὑπὲρ τῆς παλαιφάτου καὶ περιβλέπτου ταύτης ἐπαρχίας.

Ἱερὰ Μητρόπολις Θυατείρων.

Ἐγράφη τῷ σεβ. Μ/τῃ Θυατείρων κ. Γερμανῷ ὅπως παράσχῃ τὴν κανονικὴν αὐτοῦ ἄδειαν τῷ παρὰ τῇ ἐν Παρισίοις Ὀρθοδ. Οὐκρανικῇ κοινότητι ἐφημερεύοντι ἀρχιμ. Ἱλαρίωνι Μπρεντζὰν πρὸς μετάβασιν αὐτοῦ ἀπὸ καιροῦ εἰς καιρὸν εἰς Γερμανίαν καὶ θεραπείαν τῶν ἐκκλ/κῶν ἀναγκῶν τῶν ἐκεῖ ἐγκατεστημένων ὀρθ. Οὐκρανῶν.

Ἀρχιεπισκοπὴ Β. καὶ Ν. Ἀμερικῆς.

Ὁ σεβ. Ἀρχ/πος κ. Ἀθηναγόρας ὑπέβαλεν πρό τινος ὑπὸ τὴν ἔγκρισιν τῆς Ἐκκλησίας σχέδιον ὑποτροφιῶν δι᾽ ἀνωτέρας ἐν Ἀμερικῇ σπουδὰς ἀποφοίτων, πρεσβυτέρων καὶ διακόνων, τῆς ἐν Χάλκῃ ἱ. Θεολ. Σχολῆς καὶ ἄλλων τοιούτων. Κατὰ τὸ ἐν λόγῳ σχέδιον, οἱ ἄγαμοι κληρικοὶ θὰ μετακαλῶνται εἰς Ἀμερικὴν μόνον ὡς φοιτηταί, μετὰ δὲ τὴν ἀποπεράτωσιν τῶν σπουδῶν αὐτῶν θὰ ἐπιστρέφωσιν οἴκαδε καὶ δι᾽ ἄλλους λόγους καὶ ἵνα ἀνανεῶνται ἑκάστοτε καὶ συνεχῶς αἱ ὑποτροφίαι. Διάκονοι εὐδοκίμως ὑπηρετοῦντες θὰ ἠδύναντο νὰ τυγχάνωσι παρατάσεως τῆς διαμονῆς των, ἔγγαμοι δὲ ἱερεῖς καὶ νὰ διορίζωνται εἰς μονίμους ἐφημεριακὰς θέσεις. Τὸ σχέδιον τοῦτο ἔτυχε τῆς ἐγκρίσεως τῆς ἁγ. καὶ ἱ. Συνόδου, τοῦθ᾽ ὅπερ καὶ ἐκοινοποιήθη τῇ Α. Σεβασμιότητι.

Ἀρχιεπισκοπὴ Φιλλανδίας.

Ἀπαντητικῶς εἰς γράμμα τοῦ σεβ. Ἀρχ/που Καρελίας καὶ πάσης Φιλλανδίας κ. Γερμανοῦ, ὑποβαλόντος ἐνώπιον τῆς Ἐκκλησίας ὡρισμένα ἐρωτήματα ἐν σχέσει πρὸς τὰ διδόμενα τοῖς βαπτιζομένοις ὀνόματα, ἐγνωρίσθη αὐτῷ ἡ ἄποψις τῆς Ἐκκλησίας διὰ γράμματος τῆς Α. Θ. Παναγιότητος.

Κανονικαὶ ἄδειαι.

— Τυχὼν τῆς κανονικῆς ἀδείας τῆς Ἐκκλησίας ἀφίκετο ἐξ Αὐστραλίας ὁ σεβ. μητροπολίτης Αὐστραλίας καὶ πάσης Ὠκεανίας κ. Τιμόθεος, ὅστις μεταβὰς εἰς Χάλκην ὑπέβαλε τῇ ἐφησυχαζούσῃ ἐκεῖ Α. Θ. Παναγιότητι τὰ σέβη αὐτοῦ τε καὶ πάσης τῆς ὑπ᾽ αὐτὸν εὐλογημένης παροικίας. Ἡ Α. Σεβασμιότης ἐπέδωκε καὶ ὑπόμνημα σχετικὸν πρὸς τὴν ἐκκλ/κὴν καὶ θρησκευτικὴν ζωὴν τοῦ πληρώματος τῆς ἐπαρχίας αὐτοῦ. Ὁ σεβ. Μητροπολίτης Αὐστραλίας φιλοξενεῖται ἐν τοῖς Πατριαρχείοις, κατὰ σεπτὴν πατριαρχικὴν ἀξίωσιν, καθ᾽ ὅλον τὸ διάστημα τῆς ἐν ΚΠόλει διαμονῆς αὐτοῦ.

— Παρεχωρήθη ἄδεια τῷ ἐν Ἀθήναις σεβ. Μ/τῃ Τραπεζοῦντος κ. Χρυσάνθῳ μεταβάσεως εἰς Λουτράκι πρὸς λουτροθεραπείαν.

Ἱ. Πατρ. Σταυρ. Ἁγίασμα τῆς Ὑπεραγίας Θεοτόκου ἐν Βεφᾶ.

Εἰς ἀντικατάστασιν τοῦ σεβ. Μ/του Προύσης κ. Πολυκάρπου, παραιτηθέντος, πρόεδρος τῆς Ἐπιτροπῆς τοῦ ἐν λόγῳ ἱ. Ἁγιάσματος ἐξελέγη συνοδικῶς ὁ σεβ. Μ/της Αἴνου κ. Γερμανός.

Ἱ. Πατρ. καὶ Σταυρ. Μονὴ Πάτμου.

Συστάσει τοῦ ἐνταῦθα Γεν. Προξενείου τῆς Γαλλίας ἡ Α. Θ. Παναγιότης ἐφωδίασε διὰ γραμμάτων Αὐτῆς πρὸς τὸν πανοσ. ἡγούμενον τῆς ἱ. ταύτης μονῆς τὸν ἐκ τῶν μελῶν τοῦ ἐν Παρισίοις «σωματείου περὶ ἐνισχύσεως τῶν ἑλλ. σπουδῶν» αἰδεσιμ. ἱερέα κ. Courtonne, μεταβαίνοντα ἐκεῖ πρὸς μελέτην χειρογράφων τινων.